## 09 IANUARIE
## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.MUCENIȚE PARTENIA DE LA EDESA MACEDONIEI



## MINEIUL PE IANUARIE-GR


Ἡ
Ἁγία
ΠΑΡΘΕΝΑ
Ἡ ἘΔΕCCΕΆ

# 09 Ἰανουαρίου
# Ἀκολουθία Νεομάρτυρος ΠΑΡΘΕΝΑΣ τῆς Ἐδεσσαίας

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς παρθένον θεόφρονα καὶ Μαρτύρων ὁμόζηλον, συνελθόντες σήμερον εὐφημοῦμέν σε, τῶν ᾿Εδεσσαίων συστήματα, Παρθένα φερώνυμε, ὡς γὰρ θῦμα καθαρόν, προσηνέχθης ἀθλήσασα τῷ Παντά-νακτι καὶ ἡγίασας ἄθλοις σου ἁγίοις, Ἔδεσσαν τὴν σὴν πατρίδα, λαμπρῶς τελοῦσαν τὴν μνήμην σου.

Τὴν ἀγάπην τὴν ἔνθεον καὶ ψυχῆς τὴν εὐγένειαν, τῇ σῇ ὑπεμφαίνουσα καρτερότητι, τοῖς τοῦ πατρός σου βουλεύμασιν, ἀνδρείως ἀντέταξας καὶ τὸν τύραννον ἐχθρόν, τῇ ἀτρέπτῳ ἐνστάσει σου ἐταπείνωσας· διὰ τοῦτο Μαρτύρων τῷ στεφάνῳ, ὡς ἀθλήσασα νομίμως, Μάρτυς Παρθένα κεκόσμησαι.

Παρθενίας τῇ χάριτι καὶ τῷ ζήλῳ τῆς πίστεως σθενουμένη, πάνσεμνε, θείῳ Πνεύματι, τὴν πατρικήν ἀθεότητα καὶ γνώμην τὴν βάρβαρον, κατεπάτησας στερρῶς,καὶ βασάνων δριμύτητα, ὡς ἀσώματος, ἀθληφόρε Παρθένα καθυπέστης καὶ τὸν θάνατον ἀνδρείως, ὑπὲρ Χριστοῦ τοῦ Νυμφίου σου.

Οὐ τυράννων ἡ δύναμις, οὔτε ἄνθος νεότητος, οὐ πεῖρα κολάσεων, καλλιπάρθενε, οὔτε τοῦ σώματος γύμνωσις, οὐ βίαιος θάνατος, τῆς ἀγάπης τοῦ Χριστοῦ ἀποστῆσαί σε ἴσχυσαν, ἀλλ᾽ ὡς ἄσαρκος, εὐσεβείας ἠγώνισαι τὸ σκάμμα καὶ ἀξίως ἐδοξάσθης παρὰ Χριστοῦ, παρθενώνυμε.

Ἐδεσσαίων ἀγλάϊσμα,᾽Εκκλησίας ὡράϊσμα, τῶν παρθένων ἔνθεον ἐγκαλλώπισμα, Μαρτύρων ἄνθος πανεύοσμον, ἁγνείας θησαύρισμα καὶ ἑδραίωμα πιστῶν, ἐξαιρέτως ῾Ελλήνων δέ μέγα καύχημα, ὡς ἀθλήσασα χρόνοις τῆς δουλείας, ἀνεδείχθης ἐν Κυρίῳ, Παρθένα Μάρτυς πολύαθλε.

Τοῖς τιμίοις ἀγῶσί σου καὶ αἱμάτων τοῖς ῥεύμασιν, ἡ πατρίς σου Ἔδεσσα καλλωπίζεται· καὶ στηριγμόν σε κατέχουσα, οὐδόλως σαλεύεται ἐχθρικαῖς ἐπιβουλαῖς καὶ δειναῖς περιστάσεσιν, ἀλλὰ πάντοτε τῇ θερμῇ σου πρεσβείᾳ καταφεύγει

καὶ λυτροῦται πάσης βλάβης τῇ ἀντιλήψει σου, πάνσεμνε.

Δόξα. Ἦχος δ'.

**Τ**ῆς εὐσεβείας τὸν θησαυρόν ἀσφαλῶς φυλάττουσα, τὴν κατὰ σοῦ βουλὴν τοῦ ἀλάστορος ἠκύρωσας, πάνσεμνε, τῇ ψυχικῇ ἀνδρείᾳ καὶ οὐρανίῳ φρονήματι· τὴν γὰρ ἀσθένειαν τοῦ θήλεος παρ' οὐδὲν ἡγησαμένη, γνώμην ἔμφρονα ἐπεδείξω καὶ στάσιν ἄτρεπτον, ἐν τῇ ἐπαγωγῇ τῶν δεινῶν· καὶ μαρτυρικὴν ζηλώσασα ἀρετήν, πρὸς τὴν ἁμαρτίαν μέχρις αἵματος ἀντικατέστης, τὸν κάλλιστον ἀγῶνα ἀθλητικῶς τελέσασα. Ἀλλ' ὦ παρθενομάρτυς Παρθένα, ἐν τῷ νυμφῶνι τῆς χαρᾶς χορεύουσα, πρέσβευε Χριστῷ τῷ Νυμφίῳ σου, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Ὁ αὐτὸς. Τῆς Ἑορτῆς.

**Δ**εῦτε μιμησώμεθα τὰς φρονίμους Παρθένους· δεῦτε ὑπαντήσωμεν τῷ φανέντι Δεσπότῃ, ὅτι προῆλθεν ὡς νυμφίος πρὸς τὸν Ἰωάννην. Ὁ Ἰορδάνης ἰδών σε, ἔπτηξε καὶ ἔμεινεν. Ὁ Ἰωάννης ἐβόα· οὐ τολμῶ κρατῆσαι κορυφῆς ἀθανάτου. Τὸ Πνεῦμα κατήρχετο ἐν εἴδει περιστερᾶς, ἁγιάσαι τὰ ὕδατα· καὶ φωνὴ οὐρανόθεν· Οὗτος ἐστὶν ὁ Υἱός μου, ὁ ἐλθὼν εἰς τὸν κόσμον, σῶσαι γένος ἀνθρώπων. Κύριε δόξα σοι.

Εἴσοδος, Φῶς ἱλαρόν,τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ᾿Αναγνώσματα.

## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (κεφ. ΜΓ΄ 9-14)

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτας ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖνς ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτός Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ ᾿Ισραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (κεφ. γ', 1-9)

**Δ**ικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς

ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (κεφ. γ.' 15.)

**Δ**ίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς

ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Εἰς τὴν Λιτήν Ἰδιόμελα.
## Ἦχος α'.

**Ε**ὐφραίνου ἐν Κυρίῳ ἡ πόλις Ἔδεσσα, ὡς μήτηρ καλλίτεκνος, χορεύουσα τῷ πνεύματι· ἐκ σοῦ γὰρ ἀνεβλάστησεν, ἡ φερώνυμος Παρθένος,

τῆς παρθενίας τὸ ἄνθος καὶ τῆς εὐσεβείας τὴν εὐωδίαν, τῇ Ἐκκλησίᾳ διέπνευσεν· ἀθλητικῶς γὰρ ἠγωνίσατο, ὡς παρθένος ἐκλεκτή καὶ τρόπαιον νίκης ἤγειρε, κατὰ τῶν ἀντιπάλων ἐχθρῶν· ὅθεν τοῦ σοῦ τέκνου συνορῶσα τὴν δόξαν, τῷ Ἀθλοθέτῃ Σωτῆρι βόησον· Κύριε δόξα σοι.

Ἦχος β'.

**Π**αρθενικῇ καλλονῇ ὡραϊσμένη, τῷ ἀθανάτῳ κατηγγυήθης Νυμφίῳ, ὡς καλὴ καὶ ἄμωμος, Παρθένα θεόνυμφε· καὶ τῇ φωνῇ αὐτοῦ ἀκολουθοῦσα, οὐδόλως ἐπτοήθης τὴν κατὰ σοῦ μανίαν τοῦ ἐχθροῦ, ἀλλ' ἐν δυνάμει πίστεως τοῦτον ἀνέτρεψας καὶ ὡς προῖκα πολύτιμον, τῷ σῷ Νυμφίῳ Χριστῷ προσήγαγες τὴν μακαρίαν σου ἄθλησιν· Ὦ πρέσβευε δεόμεθα, καλλιμάρτυς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ'.

**Ἐ**ν τῇ πέτρᾳ τῆς πίστεως τὴν ψυχὴν ἐρείσασα, ἀκλόνητος διέμεινας, τῶν ἐναντίων ταῖς προσβολαῖς· ὅθεν εὐθαρσῶς ἐβόας, τῷ διώκτῃ πατρί· οὐ πτοοῦμαί σου τὰς ἀπειλάς, οὐ τιμωρίας τὰς σκληράς, οὐδὲ θανάτου τὴν ψῆφον, ἀλλὰ προθύμως ὑπὲρ Χριστοῦ σφαγιάζομαι, τοῦ ἐπαγγειλαμένου διδόναι τοῖς πειθαρχοῦσιν Αὐτῷ, ζωὴν τὴν αἰώνιον. Αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, ταῖς

πρὸς Θεὸν πρεσβείαις σου, Παρθενομάρτυς Παρθένα ἔνδοξε.

Ἦχος δ'.

Τοῖς ἀθλητικοῖς σου πόνοις πολλῷ πλεῖον ἐλάμπρυνας, τῆς παρθενίας τὸ κάλλος,Παρθένα θεόνυμφε· πατρῴαις γὰρ χερσί πολλῶν βασάνων πεῖραν λαβοῦσα, ὡς χρυσὸς ἐνχωνευτηρίῳ ἐδοκι μάσθης καὶ ὑπὲρ ἥλιον ἔλαμψεν ἡ καρτερία σου, ἐν καιρῷ τῶν ἀγώνων· καὶτῶν μὲν ἀπίστων τὰς ὄψ εις ἠμαύρωσε, τῶν δὲ πιστῶν τὰς καρδίας ἐθέρμα νε, πρὸς θείανἀγάπην καὶ ὑπομονὴν σταθηράν, ἐν τῇ ἐλπίδι τῶν ἀποκειμένων βραβείων· ἃ παρέξει Χριστὸςὁ Θεός, τοῖς βοῶσιν Αὐτῷ· Κύριε δόξα Σο.

Δόξα. Ἦχος β'.

Τὴν τοῦ πατρὸς βδελυξαμένην ἀσέβειαν, τ ὸ ὑπὲρ Χριστοῦ μαρτύριον, προθύμωςἀνεδέξω, Π αρθένα πανεύφημε· ἐν ἁπαλῷ γὰρ σώματι, ἀθλητ ικοὺς ἀνύσασα ἀγῶνας,ἀθλητικῶν ἐπάθλων ἠξίωσ αι, ὡς φρονίμη παρθένος καὶ Μάρτυς ἀνδρεία, π αρὰ τοῦ πάντωνΘεοῦ. Ὅθεν Ἐδεσσαίων παῖδες, τοῖς σοῖς σκάμμασι σεμνύνονται καὶ σὲ προστάτιν ἕτοιμον ἀεὶ ἐπιγράφονται· οὓς φύλαττε δεόμεθα, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Ὑπέκλινας κάραν τῷ Προδρόμῳ, συνέθλασας κάρας τῶν δρακόντων· ἐπέστης ἐν

τοῖς ῥείθροις, ἐφώτισας τὰ σύμπαντα, τοῦ δοξάζειν σε Σωτήρ, τὸν φωτισμὸν τῶν ψυχῶν ἡμῶν.

## Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.
## Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

**Ὅ**τε ἐδουλώθη χαλεπῶς, Ἔδεσσα, σεμνὴ, ἡ πατρίς σου, Ἀγαρηνῶν ταῖς χερσί, τότε ὡς πολύφωτος λαμπὰς ἀνέλαμψας, μαρτυρίου παλαίσμασι, Παρθένα θεόφρον, καὶ λαμπρῶς ἐφαίδρυνας τὰς τῶν Ἑλλήνων ψυχάς, φέρειν τῆς δουλείας τὴν νύκτα καὶ Χριστῷ ἀεὶ ἀτενίζειν, τῷ πιστοῖς παρέχοντι τὴν δύναμιν.

Στίχ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.*

**Ὅ**τε ὁ γεννήτωρ σου, σεμνή, γνώμῃ θηριώδει σὲ εἷλκε, πρὸς ἀπωλείας βυθόν, τότε τούτου ἤλεγξας τὴν ἀθεότητα καὶ γενναίως ὑπέμεινας σκληρὰς τιμωρίας καὶ θάνατον ἄδικον, ὑπὲρ τῆς δόξης Χριστοῦ· ὅθεν οὐρανίων θαλάμων καὶ τῆς τῶν Μαρτύρων εὐκλείας, ἔνδοξε Παρθένα κατηξίωσαι.

Στίχ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...*

**Χ**αίροις Ἐδεσσαίων καλλονὴ καὶ καταφυγὴ ἐν ἀνάγκαις καὶ βοηθὸς ἀληθής· χαῖρε

νύμφη ἄφθορε τοῦ Ζωοδότου Χριστοῦ· ᾿Αθληφόρων καλλώπισμα, παρθένων ἡ δόξα, Ὀρθοδόξου πίστεως ἔρεισμα ἄσειστον· χαίροις καλλιμάρτυς Παρθένα, ἡ τὸν πολυμήχανον ὄφιν, ἄθλοις κρατεροῖς σου θριαμβεύσασα.

Δόξα. Ἦχος πλ. δ'.

**Μ**αρτυρικῶς ἀριστεύσασα, τῶν πάλαι Μαρτύρων τοὺς ἄθλους, ἐν σεαυτῇ ἀνεζωγράφησας, πάνσεμνε· οὐ γὰρ ἔφριξας τυραννικὴν θρασύτητα, οὐκ ἐφείσω τοῦ ἁπαλοῦ σου σώματος, δαπανωμένου τοῖς αἰκισμοῖς, ἀλλ' ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ, πάντων περιεγένου καὶ δι' αἵματος ἐτέλεσας τῆς ἀθλήσεως τὸ στάδιον. Καὶ νῦν Μαρτύρων δήμοις συνοῦσα, Παρθενομάρτυς πολύαθλε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Σήμερον ἡ κτίσις φωτίζεται· σήμερον τὰ πάντα εὐφραίνονται, τὰ οὐράνια ἅμα καὶ τὰ ἐπίγεια· Ἄγγελοι καὶ ἄνθρωποι συμμίγνυνται· ὅπου γὰρ Βασιλέως παρουσία καὶ ἡ τάξις παραγίνεται. Δράμωμεν τοίνυν ἐπὶ τὸν ᾿Ιορδάνην, ἴδωμεν πάντες τὸν Ἰωάννην, πῶς βαπτίζει κορυφὴν ἀχειροποίητον καὶ ἀναμάρτητον. Διὸ ᾿ἀποστολικὴν φωνὴν προσᾴδοντες, συμφώνως βοήσωμεν· ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ

σωτήριος πᾶσιν ἀνθρώποις, καταυγάζουσα καὶ παρέχουσα πιστοῖς τὸ μέγα ἔλεος.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ ᾿Απολυτίκιον.

Ἦχος γ'. Θείας πίστεως.

**Θ**εῖον βλάστημα ᾿Εδέσσης ὤφθης καὶ ἰσότιμος κλεινῶν Μαρτύρων, ἀθληφόρε Παρθένα φερώνυμε· τοῦ γὰρ πατρὸς τὴν κακίαν ἐλέγξασα, ὑπὲρ Χριστοῦ θεοφρόνως ἐνήθλησας· ὅθεν πρέσβευε, δοθῆναι τοῖς σὲ γεραίρουσι, πταισμάτων ἱλασμὸν καὶ μέγα ἔλεος.

Καὶ τὸ τῆς ῾Εορτῆς.

**Ἐ**ν ᾿Ιορδάνῃ βαπτιζομένου σου Κύριε..

Καὶ ᾿Απόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α' Στιχολογίαν Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου, Σωτήρ.

**Τ**ὴν μνήμην σου, σεμνή, ὁ λαὸς τῆς ᾿Εδέσσης, γεραίρει εὐλαβῶς καὶ τιμᾷ τοὺς σοὺς ἄθλους· προστάτιν γάρ σε κέκτηται, ὡς νομίμως ἀθλήσασαν· ὅθεν πρέσβευε, Παρθενομάρτυς Παρθένα, πάσης ῥύεσθαι ἡμᾶς ἀνάγκης καὶ βλάβης, ἐχθροῦ πολεμήτορος.

Τῆς ῾Εορτῆς, ὅμοιον.

Ἐν ῥείθροις ποταμοῦ ᾿Ιορδάνου, Οἰκτίρμον, θελήσει βαπτισθείς, ὁ ἀμόλυντος φύσει, τὸν ῥύπον ἀπεκάθηρας τοῦ ᾿Αδὰμ, ὡς φιλάνθρωπος. Ὅθεν αἴνεσιν, μεγαλωσύνην καὶ δόξαν ἀναπέμπομεν τῇ Σῇ χρηστότητι, Σῶτερ, δι' ἧς κόσμον ἔσωσας,

Μετὰ τὴν β' Στιχολογίαν Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀδούλωτος ἔμεινας κατὰ ψυχὴν, ὦ σεμνή, ἡνίκα δεδούλωται ἡ σὴ πατρὶς τῷ ἐχθρῷ καὶ χαίρουσα ἤθλησας· ὅθεν τῶν κλονουμένων στηριγμὸς ἀνεδείχθης, πᾶσιν ἐλευθερίας ἐντιθεῖσα ἐλπίδα, Παρθένα δεδοξασμένη, τοῖς σὲ μακαρίζουσι.

Τῆς ῾Εορτῆς, ὅμοιον.

Ἐν ῥείθροις ἐπέφανας τοῦ ᾿Ιορδάνου, Χριστέ, χειρὶ δὲ βεβάπτισαι τοῦ ᾿Ιωάννου ἑκών, ἐλέους ἡ ἄβυσσος· ὅθεν τῇ Σῇ βαπτίσει λαμπρυνθέντες, Οἰκτίρμον, τῆς πάλαι υἱοθεσίας ἠξιώθημεν, Σῶτερ· διό Σου τὴν ἐπιφάνειαν, πίστει δοξάζομεν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Τὴν ἀμώμητον πίστιν στερρῶς φυλάττουσα, τοῦ πατρός σου τὸ ἄθεον ἐστηλίτευσας καὶ καθεῖλες τῶν ἐχθρῶν, σεμνὴ, τὸ φρύαγμα· ῥαβδισμοὺς γὰρ χαλεπούς καὶ στρεβλώσεις τὰς δεινάς, ἐνέγκασα ἀνενδότως, μαρτυρικῶς ἐδοξάσθης, Παρθένα Μάρτυς ἀξιάγαστε.

Τῆς ῾Εορτῆς, ὅμοιον.

Ἰορδάνου τοῖς ρείθροις ἐπέστης, Κύριε, καὶ σαρκὶ ἐβαπτίσθης ὁ ἀναμάρτητος καὶ ἀπέπλυνας ἡμᾶς τοῦ πάλαι πτώματος. Ὅθεν μεθέορτον πιστῶς ὕμνον ᾄδομεν, Χριστέ, τῇ θείᾳ Σου εὐσπλαγχνίᾳ· Εὐλογητὸς εἶ βοῶντες, ὁ ἀναπλάσας ἡμᾶς, Κύριε.

Τὸ α' Ἀντίφωνον τοῦ δ' Ἤχου καὶ τὸ Προκείμενον.

῾Υπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι. (Δὶς).

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

῾Υπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Εὐαγγέλιον τοῦ Ὄρθρου τοῦ ῾Αγίου Μεγαλομάρτυρος Γεωργίου.

Ὁ Ν' (50) Ψαλμός.

Δόξα. Ταῖς τῆς ᾿Αθληφόρου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Ἰδιόμελον. Ἦχος πλ. β'. Στίχ. *᾿Ελέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου…*

**Τ**ὸ πῦρ τὸ νοερόν τῆς τοῦ Κυρίου ἀγάπης, τὴν ψυχήν σου ἀναφλέξαν, λαμπάδα φαεινήν τοῖς ᾿Εδεσσηνοῖς σε ἀνέδειξε, Παρθένα θεόφρον· τοῦ γὰρ ἐχθροῦ τὴν ὀφρὺν κατηγωνίσω καὶ τὴν ζωὴν προθύμως ἔθυσας, ὑπὲρ τῆς πατρῴας πίστεως· ὅθεν ἀεὶ προΐστασο, τῶν τελούντων τὴν μνήμην σου καὶ τὴν σὴν μακαριζόντων ἄθλησιν.

Εἶτα οἱ Κανόνες τῆς ῾Εορτῆς καὶ τῆς ῾Αγίας, οὗ ἡ ἀκροστιχίς. ᾿Εδέσσης δόξα Παρθένα πέλεις. Γερασίμου.

Ὠδὴ α'. Ἦχος β'. Δεῦτε λαοί.

**Ἔ**χεις πολλήν, ὡς ἀθληφόρος ἀήττητος, τὴν παρρησίαν, πάνσεμνε, πρὸς τὸν Νυμφίον σου· διὰ τοῦτο δυσώπει δοθῆναί μοι, Παρθένα, λόγον ὑμνοῦντί σε.

**Δ**ῶρον Χριστῷ τὴν παρθενίαν σου, πάνσεμνε, καὶ σεπτήν σου ἄθλησιν, πίστει προσήγαγες, ἀθλήσασα νομίμως καὶ τὸν ἐχθρὸν, Παρθένα, καταπαλαίσασα

Ἔργοις φωτός καὶ τρόποις θείοις καὶ ἤθεσιν, ἁγνείας διαπρέπουσα, ὡς καλλιπάρθενος, τὴν ἁγίαν ζωήν σου, ἀθλητικοῖς ἀγῶσι, Μάρτυς, ἐσφράγισας.

Θεοτοκίον.

Σάρκα ἐκ σοῦ ἔννουν καὶ ἔμψυχον, Ἄχραντε, δίχα τροπῆς καὶ φύσεως ὁ Λόγος ἔλαβε καὶ τῷ κόσμῳ ὡράθη, παρέχων σωτηρίαν, τοῖς σὲ δοξάζουσι.

Καταβασία. Βυθοῦ ἀνεκάλυψε πυθμένα…

## Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

Συνέσει κοσμουμένη καὶ εὐσεβείᾳ, κατῄσχυνας πατρός σου τὴν ἀλογίαν καὶ τούτου τὴν ἀσέβειαν ἐβδελύξω· οὐκ ἔστιν ἅγιος, Χριστῷ κραυγάζουσα καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Ἡ Ἔδεσσα καυχᾶται τοῖς σοῖς σπαργάνοις καὶ χαίρει τοῖς σοῖς ἄθλοις χαρὰν μεγάλην, ὁρῶσά σου τὴν νίκην, ὦ Νεομάρτυς, ἥν ἦρας, πάνσεμνε, κατὰ τοῦ δράκοντος, ἁπαλῷ ἐν σώματι ἀριστεύσασα.

Στερρότητι καρδίας καθυπομένεις μαστίγων τὰς ὀδύνας καὶ τὰς κακώσεις, γυμνὴ δὲ συρομένη χειμῶνος ὥρᾳ, τὸ πῦρ τῆς πίστεως ὅ ἔνδον ἔφερες, ἅπασιν ὑπέφηνας, παρθενώνυμε.

Θεοτοκίον.

**Δ**οχεῖον τῆς ἀστέκτου θείας οὐσίας, ὡς πάναγνος καὶ μόνη κεκαθαρμένη, ἐγένου, Θεοτόκε δεδοξασμένη, καὶ κόσμῳ τέτοκας Χριστὸν τὸν Κύριον, πρὸς τὴν πρώτην εὔκλειαν ἡμᾶς ἀνάγοντα.

Καταβασία. Ἰσχὺν ὁ διδούς...

Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

**Τ**ῆς σῆς ἀθλήσεως τὰ κατορθώματα, ἡ πόλις Ἔδεσσα πάλαι ἐθαύμασε, Παρθενομάρτυς τοῦ Χριστοῦ Παρθένα ἠγλαϊσμένη· ὥρᾳ γὰρ νεότητος, ἠγωνίσω ὡς ἄσαρκος καὶ πατρὸς τὸ ἄθεον καὶ τυράννων ὠμότητα, οὐδόλως ἐπτοήθης θεόφρον· διὸ γεραίρομεν τὴν μνήμην σου.

Τῆς Ἑορτῆς, ὅμοιον.

**Σ**άρκα ἐνδέδυσαι ὁ Ὑπερούσιος, δι' ἀγαθότητα, μόνε Φιλάνθρωπε, καὶ Ἰωάννου τῇ χειρί τὸ βάπτισμα κατεδέξω· δι᾽ οὗ ἀπεκάθηρας τοῦ Ἀδὰμ τὸ παράπτωμα καὶ τῆς ζωῆς ἠξίωσας, ἀνωλέθρου καὶ κρείττονος, τοὺς πίστει ἀνυμνοῦντας, Οἰκτίρμον, τὴν Σὴν ἁγίαν ἐπιφάνειαν.

## Ὠδὴ δ'. Εἰσακήκοα Κύριε, τὴν ἀκοήν.

**Ο**ἱ κρουνοὶ τῶν αἱμάτων σου, τῶν ἐκ τῆς Ἄγαρ κατέκλυσαν τὸ θράσος καὶ πιστῶν, Παρθένα, ψυχὰς ἐδρόσισαν.

**Ξ**ενωθεῖσα ἐν χάριτι τῆς δυσσεβοῦς πατρός σου κοινωνίας, Χριστῷ ᾠκειώθης, πίστει ἀθλήσασα.

**Ἀ**νημέρως συγκόπτων σε, ἐν τοῖς δαρμοῖς ὁ δυσσεβὴς πατήρ σου, Χριστοῦ σε χωρίσαι οὐδόλως ἴσχυσε.

**Π**ατρικὴν ἀθεότητα καὶ τὴν ὀφρὺν ᾿Αγαρηνῶν, Παρθένα, πίστεως ῥώμῃ, καταπεπάτηκας.

Θεοτοκίον.

**Ἀ**πορρήτως κυήσασα τὸν Ποιητὴν τῆς κτίσεως, Παρθένε, πάντων ἀνωτέρα, κτισμάτων πέφηνας.

Καταβασία. ᾿Ακήκοα Κύριε φωνῆς σου...

## Ὠδὴ ε'. Τῆς νυκτὸς διελθούσης.

**Ῥ**ωμαλέᾳ καρδίᾳ, ἤνεγκας ὡς ἀδάμας τὰς πικρὰς στρεβλώσεις τοῦ σώματος καὶ τὰς στρέβλας, Παρθένα, ἤμβλυνας τῶν ἀνόμων, τῇ ἀντιτυπίᾳ τῶν πόνων σου.

**Θ**αλπομένη ἀΰλως θέρμῃ τοῦ Παρακλήτου, ψῦχος τὸ δριμὺ ἐκαρτέρησας,

συρομένη, Παρθένα, γυμνὴ ὑπ' ἀνόμων, ὥρᾳ χειμερίῳ, πανθαύμαστε.

Ἐν τρισὶ ταῖς ἡμέραις, πεῖραν πικρῶν βασάνων ἔλαβες, Παρθένα τῷ σώματι, ὡς πιστῶς σεβομένη Τριάδα τὴν ἁγίαν, τὴν περιφανῶς σε δοξάσασαν.

Θεοτοκίον.

Νέον ἔτεκες βρέφος τὸν πρὸ πάντων αἰώνων, ἐπ' ἀνακαινίσει τῆς φύσεως· διό με παλαιωθέντα πάθεσι κακίας καινοποίησόν με, Πανάχραντε.

Καταβασία. Ἰησοῦς ὁ ζωῆς ἀρχηγός.

Ὠδὴ στ'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἀσεβήσας πατήρ σου ὁ δείλαιος, σὲ πρὸς πλάνην ἄθεσμον βιαίως ὤτρυνεν, ἀλλὰ τῇ σῇ νενίκηται ἀηττήτῳ, Παρθένα, στερρότητι.

Παρθενίας τὸ κάλλος τὸ πάντιμον, τοῖς μαρτυρικοῖς σου φαιδρύνασα στίγμασι, νύμφη Χριστοῦ περίδοξος ἀνεδείχθης, Παρθένα πανθαύμαστε.

Ἐδεσσαίων ἀγλάϊσμα πέφηνας καὶ τῶν Ἀθλοφόρων τῶν πάλαι ἐκτύπωμα, περιφανῶς ἀθλήσασα ἐν ὑστέροις καιροῖς, καλλιπάρθενε.

Θεοτοκίον.

Λυτρωθέντες ἀρᾶς τοῦ Προπάτορος, ἐν τῇ

ὑπὲρ φύσιν σου κυήσει, Ἄχραντε, τὸ χαῖρέ σοι κραυγάζομεν, τῇ πρεσβείᾳ σου Κόρη σῳζόμενοι.

Καταβασία. Ἡ φωνὴ τοῦ Λόγου.

Κοντάκιον. Ἦχος γ'. Ἡ παρθένος σήμερον.

Ἑορτάζει σήμερον τῶν Ἐδεσσαίων ἡ πόλις, τὴν ἁγίαν μνήμην σου, Παρθενομάρτυς Παρθένα· χαίρει γάρ πιστῶς σε θρέψασα ἐν Κυρίῳ, μέλπουσα τοῦ μαρτυρίου σου τοὺς ἀγῶνας, οὓς διήνυσας ἀνδρείως, ὑπὲρ τῆς δόξης Χριστοῦ, πανεύφημε.

Ὁ Οἶκος.

Ὅλον τὸν πόθον σου, σεμνή, ἀνέτεινας Κυρίῳ καὶ Τούτῳ βίον καθαρόν, καρποφορεῖς παρθενικῶς, Παρθένα μακαρία· ὅθεν ἐν τῇ ἐπαγωγῇ τῶ δεινῶν καὶ τῇ καταιγίδι τῶν πειρασμῶν, ἀκατάπληκτον ἐπεδείξω φρόνημα καὶ ἀκλόνητος κατὰ ψυχὴν ἔμεινας· τοῦ γὰρ ἐξομόσαντος πατρός σου, τὴν θηριώδη γνώμην οὐκ ἐπτοήθης, ἀλλ' ἐν ἀπτοήτῳ παρρησίᾳ καὶ ἀτρέπτῳ λογισμῷ, μαστιγώσεις ὀδυνηράς καὶ τῶν Ἀγαρηνῶν τὰς ἀπειλάς καὶ τιμωρίας καὶ στρεβλώσεις χαλεπάς, ὡς οὐδὲν ἐλογίσω· ἀνδρείως γὰρ διήνυσας τὸ μαρτύριον, ὑπὲρ τῆς

δόξης Χριστοῦ, πανεύφημε.

υναξάριον.

Τῇ θ' τοῦ αὐτοῦ μηνός μνήμη τῆς ἁγίας ἐνδόξου καὶ καλλινίκου Παρθενομάρτυρος τοῦ Χριστοῦ Παρθένας τῆς Ἐδεσσαίας, ἀθλησάσης, ἐν Ἐδέσσῃ κατὰ τὸ ἔτος 1375.

Στίχ. Πατρός σου μὴ πτήξασα θηριωδίαν,
Χριστοῦ χάριν ἤθλησας στερρῶς Παρθένα.

Ἐνάτῃ μόρον Παρθένα ταληνεγῆ εὐτόλμως φέρει.

Ὠδὴ ζ'. Ῥήτορες ἀνεδείχθησαν.

Ἔρωτι φλεγομένη Παρθένα, τῷ τοῦ Νυμφίου σου Χριστοῦ, ἐν χειμερίῳ τῇ ὥρᾳ, ἐπὶ χιόνος συρομένη ἔμελπες· Ὁ ὑπέρθεος, τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἴσχυσας σθενουμένη τῷ σθένει, ἐν ἀσθενείᾳ τῆς σαρκός, τοῦ Ἀθλοθέτου Σωτῆρος, καταβαλεῖν ἐχθρὸν τὸν ἀλάστορα καὶ μιμήσασθαι τῶν ἀρχαίων Ἀθλητῶν, Παρθένα, τοὺς ἀγῶνας.

Σώματος ἁπαλοῦ οὐκ ἐφείσω, μαστιζομένου ἀπηνῶς, ἀλλ᾽ ἀνενδότῳ ἀνδρείᾳ τῶν αἰκισμῶν τὴν ἔφοδον ἔφερες, ψυχῆς ὄμματι προορῶσα, ὢ σεμνή, τὰς ἀμοιβὰς τῶν πόνων.

Θεοτοκίον.

Γέννησιν ὑπὲρ ἔννοιαν σχοῦσα, Θεὸν

γεννήσασα σαρκί, παρθένος ἔμεινας μόνη, ἐν παρθενίᾳ γάλα πηγάζουσα· καὶ γὰρ τέτοκας τὸν ποιήσαντα ἐν σοί, Παρθένε, μεγαλεῖα.

Καταβασία. Νέους εὐσεβεῖς...

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ.

**Ἐ**ρηρεισμένη ἀσφαλῶς ἐπὶ πέτραν εὐσεβείας, καλλιμάρτυς, οὐδαμῶς ἐσαλεύθης ταῖς προσβολαῖς τοῦ ἐχθροῦ, ἀλλ᾽ ἔστης στερρὰ καὶ ἀκλόνητος, ἐν τῇ καταιγίδι τῶν πειρασμῶν, Παρθένα.

**Ῥ**απιζομένη ἀπηνῶς, ἀπερράπισας ἐχθροῦ τὴν πονηρίαν καὶ γυμνὴ συρομένη ἐπὶ χιόνος, σεμνή, τὴν φλόγα τῆς πίστεως ἔδειξας, φλέγουσα Παρθένα, ᾿Αγαρηνῶν τὴν πλάνην.

**Ἀ**γαλλιᾶται καὶ σκιρτᾷ ἡ πατρίς σου τῇ ἁγίᾳ ἀθλήσει καὶ δουλείας ῥυσθεῖσα πολυχρονίου πικρᾶς, γεραίρει Παρθένα τὴν μνήμην σου, τῆς ἐλευθερίας τὰ ἀγαθὰ τρυγῶσα.

Θεοτοκίον.

**Σ**ωματικῶς ὁ Ποιητής, προελθὼν ἐκ τῶν ἀχράντων σου αἱμάτων, Θεοτόκε Παρθένε, δίχα τροπῆς καὶ φυρμοῦ, βροτῶν τὴν οὐσίαν ἐθέωσε, τὴν ἀχρειωθεῖσαν, τῇ πάλαι παραβάσει.

Καταβασία. Μυστήριον παράδοξον...

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Λόγον.

Ἰσχυροτάτη, παρθένε, πρὸς Χριστὸν πεποιθήσει, καθεῖλες τοῦ Βελίαρ τὴν ἰσχύν καὶ τὴν ὀφρὺν ἐταπείνωσας τῶν υἱῶν τῶν τῆς Ἄγαρ, ἀθλητικῇ ἐνστάσει σταθηρᾷ· διὰ τοῦτο Παρθένα, μαρτυρικῶς δεδόξασαι.

Μαρτυρικαῖς ἀριστείαις, τῶν Μαρτύρων τῶν πάλαι ἐδείχθης, ἐν ὑστέροις τοῖς καιροῖς, θεοειδὲς ἀφομοίωμα καὶ τιμῇ τε καὶ δόξῃ, Παρθένα, ἀληθῶς ἰσοκλεής· μεθ' ὧν πρέσβευε, Μάρτυς, ὑπὲρ τῶν εὐφημούντων σε.

Οἱ ἱεροί σου ἀγῶνες, τοὺς πιστοὺς ᾿Εδεσσαίους συνήγαγον ὑμνῆσαί σε, σεμνή, οὓς διαφύλαττε πάντοτε ἀναγκῶν καὶ κινδύνων καὶ πάσης ἐχθρικῆς ἐπιβουλῆς ἀσινεῖς, ὦ Παρθένα, τῇ θείᾳ ἀντιλήψει σου.

Θεοτοκίον.

Ὑπὲρ ἡμῶν ἐκδυσώπει τὸν Υἱὸν καὶ Θεόν σου, μητρῴᾳ παρρησίᾳ σου, Ἁγνή Θεοχαρίτωτε Δέσποινα, πάσης βλάβης ῥυσθῆναι καὶ ἄφεσιν λαβεῖν ἁμαρτιῶν, τοὺς ὑμνοῦντάς σε Κόρη καὶ πίστει μεγαλύνοντας.

Καταβασία. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ἐξαποστειλάριον. Ἐπεσκέψατο ἡμᾶς.

Ἐναθλήσασα καλῶς, ὑπὲρ τῆς πίστεως Χριστοῦ, ἐν ἀσθενείᾳ τῆς σαρκός, κατηγωνίσω τὸν ἐχθρόν καὶ μαρτυρίου στέφανον ἐδέξω ἐκ Κυρίου, Παρθένα φερώνυμε.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ἐπεφάνη ὁ Σωτήρ, ἡ χάρις ἡ ἀλήθεια, ἐν ῥείθροις τοῦ Ἰορδάνου καὶ τοὺς ἐν σκότει καὶ σκιᾷ, καθεύδοντας ἐφώτισε· καὶ γὰρ ἦλθεν ἐφάνη, τὸ φῶς τὸ ἀπρόσιτον.

Εἰς τοὺς Αἴνους. Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῶν Ἐδεσσαίων ἡ πόλις χορεύει σήμερον, τῇ εὐκλεεῖ σου μνήμῃ, ἀθληφόρε Παρθένα, καὶ μέλπει τοὺς ἀγῶνας τοὺς ἱερούς, τῆς στερρᾶς σου ἀθλήσεως, δι' ὧν καθεῖλες τὸ θράσος Ἀγαρηνῶν καὶ Χριστὸν λαμπρῶς ἐδόξασας.

Τῆς πατρικῆς δυσσεβείας καταφρονήσασα, Πατρὸς τοῦ οὐρανίου, ἀνεδείχθης θυγάτηρ καὶ νύμφη τοῦ Σωτῆρος περικαλλής, τῇ γενναίᾳ ἀθλήσει σου, παρθενομάρτυς Παρθένα, τῶν εὐσεβῶν ἀκατάσειστον ἑδραίωμα.

Τὰς τοῦ πατρὸς μαστιγώσεις καθυπομείνασα καὶ τῶν υἱῶν τῆς Ἄγαρ τὰς πικρὰς τιμωρίας, ὑπέδειξας τοῖς πᾶσι περιφανῶς, εὐσεβείας τὴν δύναμιν, παρθενομάρτυς Παρθένα, Ἐδεσσηνῶν ἱερώτατον ἀγλάϊσμα.

**Τ**οῦ μαρτυρίου τοῖς ἄθλοις ἀνδραγαθήσασα, λαμπαδηφόρος ἔβης, ὡς παρθένος φρονίμη καὶ Μάρτυς στεφηφόρος, μετὰ χαρᾶς εἰς νυμφῶνα τὸν ἄφθαρτον, παρθενομάρτυς Παρθένα, ἔνθα ἡμῶν τῶν τιμώντων σε μνημόνευε.

Δόξα. Ἦχος πλ. α'.

**Ν**ομίμως ἀγωνισαμένη, τῆς ἀνομίας καθεῖλες τὸ φρύαγμα, ἐν τῇ ἄνωθεν δυνάμει, παρθενομάρτυς πολύαθλε· ἀπτόητον γὰρ φρόνημα, ἐν τῷ καιρῷ τῶν αἰώνων ἐπεδείξω καὶ τὸν θάνατον προθύμως προέκρινας, ὑπὲρ τῆς Χριστοῦ ὁμολογίας· ὅθεν μαρτυρικῷ ἐκοσμήθης στέφει, Παρθένα καλλιπάρθενε, καὶ τῆς αἰωνίου δόξης ἠξίωσαι, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσα.

Καὶ νῦν. Ἦχος β'. Τῆς Ἑορτῆς.

**Σ**ήμερον ὁ Χριστός, ἐν Ἰορδάνῃ ἦλθε βαπτισθῆναι· σήμερον Ἰωάννης ἅπτεται κορυφῆς τοῦ Δεσπότου· αἱ δυνάμεις τῶν οὐρανῶν ἐξέστησαν, τὸ παράδοξον ὁρῶσαι μυστήριον· ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἰδὼν

ἀνεστρέφετο· ἡμεῖς δὲ οἱ φωτισθέντες βοῶμεν. Δόξα τῷ φανέντι Θεῷ καὶ ἐπὶ γῆς ὀφθέντι καὶ φωτίσαντι τὸν κόσμον.

Δοξολογία Μεγάλη καὶ ᾿Απόλυσις.

## ΕΝ ΤΗ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Τὰ Τυπικὰ, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῆς ῾Αγίας ἡ γ' καὶ ς' Ὠδή.

ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον. ῏Ηχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ῾Αγίοις Αὐτοῦ.

Στίχ. ᾿Εν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (γ' 23, δ' 1-5)

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. ᾿Ελθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ ᾿Ιησοῦ. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οὐκ ἔνι ᾿Ιουδαῖος, οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ

θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ ᾿Ιησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ ᾿Αβραὰμ σπέρμα ἐστέ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ᾿ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

᾿Αλληλούϊα, ῏Ηχος α'.
Ὑπομένων ὑπέμεινα τὸν Κύριον.
Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Εὐαγγέλιον κατὰ Ματθαῖον.

**Ε**ἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. ᾿Ιδού, ἐγὼ ἀποστέλλω ὑμᾶς... Ζήτει τῇ Τετάρτῃ τῆς γ' ἑβδομάδος Ματθαίου.

Κοινωνικόν.

**Ε**ἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Χαίροις Ἐδεσσαίων ἡ καλλονή, Παρθένα θεόφρον, νύμφη ἄφθορε τοῦ Χριστοῦ· χαίροις Ὀρθοδόξων, Ἑλλήνων θυμηδία, σεμνὴ παρθενομάρτυς ἀξιοθαύμαστε.

Δίστιχον.

**Τ**ῇ παρθενομάρτυρι Παρθένᾳ ᾄδει
Γεράσιμος μέλισμα καινὸν προθύμως.

